## Gea da a luz a los Gigantes: características.

**Γῆ** δὲ περὶ **Τιτάνων** ἀγανακτοῦσα γεννᾷ Γίγαντας ἐξ **Οὐρανοῦ**, μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ **ἀκαταγωνίστους**, οἳ φοβεροὶ μὲν ταῖς ὄψεσι κατεφαίνοντο, **καθειμένοι** βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γενείων, εἶχον δὲ τὰς **βάσεις φολίδας** δρακόντων. ἐγένοντο δὲ, ὡς μὲν τινες λέγουσιν, ἐν **Φλέγραις**, ὡς δὲ ἄλλοι, ἐν **Παλλήνῃ**. ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας.

### NOTAS

Γῆ, -ῆς ἡ *Gea*

Τιτάν, -άνος ὁ *Titán*

Οὐρανός, -ου ὁ *Urano*

ἀκαταγωνίστος, -ον *indomable*

καθίημι *dejar caer*

βάσις, -εως ἡ *pie*

φολίς, -ίδος ἡ *lleno de escamas*

Φλέγρα, -ας ἡ *Flegras*, península de Macedonia

Παλλήνη, -ης ἡ *Palene*, península de Macedonia